ἐκ δύο συγκεῖσθαι δερμάτων τὴν ἰδέαν. διῄρηται δὲ καὶ τὸ μέσον, ὡς οἱ σφῆκες. ἢ ὄρνεον ἐστὶ τετμημένον κατὰ τὸ μέσον, ὡς οἱ σφῆκες. Παρατεμοῦσα θοἰμάτιον.] οὕτω καὶ Σουΐδας γράφει. καὶ κάτω, Ἐφηδὰ σαυτῆς κἂν παρατεμεῖν θοἰμάτιον. ἀντὶ τοῦ, τὸ ἱμάτιον. παρατεμοῦσα δὲ, μετοχὴ α. β. ἀπὸ παρατέμνω, παρέταμον, παραταμών. καὶ παρταμών, οὗ θηλυκὸν παρταμοῦσα. καὶ συγκοπῇ παρταμοῦσα. Ἐγὼ δέ κἂν.] ἐγὼ δὲ καὶ ἄνω πρὸς τὸ Ταΰγετον ἔλθοιμι ἄν. ἀλλὰ γυνὴ Λάκαινα Λακωνίζει καὶ Δωρίζει. καὶ κα, καὶ κε. ποτὶ, πρὸς τὸ ἐλθοίμι, ἐλθοίμι. Ταΰγετον δὲ, ὄρος τῆς Λακωνικῆς. Ὅμηρος.

Ἢ κατὰ Ταΰγετον περιμήκετον, ἢ Ἐρύμανθον.

λέγεται δὲ καὶ ἀρσενικῶς, καὶ οὐδετέρως. Στέφ. Ὅσα μέλλοιμι γε.] γέγραπται καὶ ὅπα μέλλοιμι. ἀντὶ τοῦ ὅπη, ὅπου, ἐν ᾧ Ταϋγέτῳ μέλλοιμι ἰδεῖν εἰρήναν. ὁ νοῦς. εἴπερ δυναίμην τὴν εἰρήνην ἰδεῖν, καὶ αὐτῆς τυχεῖν, καὶ εἰς ὑψηλότατον ὄρος ἀναβαίην. Τοῦ; φράσον.] τίνος ἀφεκτέον; εἰπέ. Ἡμῖν ἐστιν.] μέτρῳ χαίρειν οὕτω γραπτέον. τὸ γὰρ μὲν περισπώμενον μακρόν ἐστι. τὸ δὲ μὲν ὀξυτονούμενον παρὰ ποιητῇ μέτρῳ χαίρειν γράφεται, ἵνα συστέλληται.

CHR. Τουτὶ καταθεῖσα.] Lego καταθεῖσ᾽ ἄν.

A Quod autem vocat τὸ ἔγκυκλον, Pylus est vt & postea sub finem Comœdiæ satis declarat, sic dicta propter ambitum murorum, per Metaphoram τῶν περιβολαίων, id est ἣν ἔχομεν & περιβαλλόμεθα. Neque de nihilo addit ἐκπιεῖν, quasi τὸ ἔγκυκλον sit poculum rotundum quod exhaurire ipsa velit ea lege vt bellum desinat. Est etiam teste Polluce ἔγκυκλον vestis muliebris. Ὥσπερ ἡ ψῆτταν.] Lege ὥσπερ εἰ, deinde δοῦναι ἐμαυτῆς παρταμοῦσα θοἰμάτιον, id est, etiamsi contingat scindi dimidium mei. Nam θοἰμάτιον est τὸ ἥμισυ, vt θοἰμάτιον pro τὸ ἱμάτιον.
B Videndum autem num Rhombi mentionem fecerit propter sagas mulieres quæ eo vtuntur in maleficis cantationibus, vnde Martialis,

Secto Luna vapulat Rhombo,

Nam Psetta vel passer ferè idem cum Rhombo, De ea sic apud Sudam, Piscis est latus, nonnulli buglossum vocant, qui videtur quibusdam constare ex duabus pellibus, mediúmque habere diuisum vt vespæ. Sanè ψῆτταν vocari à Romanis
C Rhombum testatur Athenæus, vbi videbis ψῆττας & βουγλώσσους differre.

Τί μοι μεταστρέφεσθε; ποῖ βαδίζετε
Αὗται; τί μοι μυᾶτε κἀνανεύετε;
Τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;
Ποιήσετ᾽ ἢ οὐ ποιήσετ᾽; ἢ τί μέλλετε;
Μυ. Οὐκ ἂν ποιήσαιμ᾽ ἀλλ᾽ ὁ πόλεμος ἑρπέτω.
Κα. Μὰ Δί᾽ οὐδ᾽ ἐγὼ γὰρ. ἀλλ᾽ ὁ πόλεμος ἑρπέτω.
Λυ. Ταυτὶ σὺ λέγεις ὦ ψῆττα; καὶ μὴν ἀρτίως
Ἔφησθα σαυτῆς κἂν παρατεμεῖν θἤμισυ.
Κα. Ἄλλ᾽ ἄλλ᾽ ὅ, τι βούλει κἄν με χρῇ διὰ τοῦ πυρὸς
Ἐθέλω βαδίζειν. τοῦτο μᾶλλον τοῦ πέους.
Οὐδὲν γὰρ οἷον ὦ φίλη Λυσιστράτη.
Λυ. Τί δαὶ σύ; Λαμ. κἀγὼ βούλομαι διὰ τοῦ πυρός.
Λυ. Ὢ παγκατάπυγον θἡμέτερον ἅπαν γένος.
Οὐκ ἐτὸς ἀφ᾽ ἡμῶν εἰσιν αἱ τραγῳδίαι.

*Quid nunc abitis, quidve vultum auertitis?*
*Quid contrahentes ora me refellitis?*
*Quid pallidæ estis, lachrymas q́; funditis?*
*Hoc agitis, an non? quid iuuat cunctarier?*
*MVR. Non fecerim istud, bella pergant protinus.*
D *CAL. Nec ego istud, inquam, signa mauelim canant.*
*LVS. Túne ista dicas lingulaca? quæ modò*
*Medium inquiebas corporis secassere?*
*CAL. Aliud iubeto quod libet, parata sum*
*Potius per ignes ire, quàm sic mentula*
*Carere, cui nil compares Lysistrata.*
*LVS. Quid tu Lacæna? LAM. vellem in ignes non minus.*
*LVS. Quàm fœminæ omnes vrimur libidine!*
E *Abominantur iure nos Tragœdiæ,*

BIS. Τί μοι μεταστρέφεσθε] αἱ γυναῖκες τὴν Λυσιστράτης βουλὴν περὶ τρόπου τῆς εἰρήνης ἀκούσασαι, καὶ κατὰ τὴν Λυσιστράτης γνώμην τῶν ἀφροδισίων ἀφεκτέα, δυσφοροῦσι, καὶ ἀποστρέφονται λυπούμεναι διὰ τὴν χαλεπότητα τῆς βουλῆς. καὶ μηδὲν ἀποκρινόμεναι ἔμενον. ἡ δὲ Λυσιστράτη αὐτὰς λυπουμένας καταμαθοῦσα ζητεῖ τί ποτε ποιεῖν μέλλουσι, καὶ αὐτὰς τὴν ἑαυτῶν γνώμην φανεροῦν κελεύει. διὰ τούτων δὲ ὁ ποιητὴς ἡμῖν τοὺς γυναικῶν τρόπους, καὶ φύσιν εἰς τὰ ἀφροδίσια εὐεπίφορον καλῶς χαρακτηρίζει. Αὗται] ἀντὶ τοῦ, ὦ
F ὑμεῖς. μυᾶτε δὲ, σκαρδαμύττετε. μυᾶν τὸ τὰ χείλη πρὸς ἄλληλα συνάγειν. τὸ δὲ αὐτὸ καὶ μύλλειν λέγεται. τινὲς δὲ, τοὺς ὀφθαλμοὺς συνάγετε δυσαρεστοῦσαι. ἢ ὥσπερ μύες καταδύεσθε. ἢ μυᾶτε εἴρηται καὶ μυστιάζειν λέγεται. ἢ καταλείβεται. ἐκ τῶν ὀφθαλμῶν καταχεῖται. Ἀλλ᾽ ὁ πόλεμος.] ὁ νοῦς. τὸν πόλεμον προαιροῦμαι μυκωμένη μᾶλλον ἢ τῆς ἀνδρὸς ὁμιλίας, καὶ συνουσίας ἀπέχεσθαι. Ψῆττα,] οὐ μόνον ἰχθύν δηλοῖ, ἀλλὰ καὶ πόρνης τινὸς ὄνομα κύριον, ὡς καὶ τὸ Μηραίνης. Ἀλλ᾽ ἄλλ᾽ ὅ, τι] ἀλλὰ ἄλλο δηλονότι κέλευσον, καὶ
G δεῖ ἡμᾶς ἀπέχεσθαι. ἀλλὰ λέγε ἄλλο πᾶν, ὅπερ βούλει, οὗ δεῖ ἡμᾶς ἀπέχεσθαι. ἐγὼ γὰρ καὶ διὰ τοῦ πυρὸς προαιροῦμαι μᾶλλον βαδίζειν, εἰ τοῦτο χρὴ ποιεῖν, ἢ τῆς ἀνδρὸς συνουσίας ἀπέχεσθαι. τοῦτο γὰρ ἀδυνατόν μοι φαίνεται. Ὢ πᾶν] θἡμέτερον, τὸ ἡμέτερον. καταπύγων δὲ, ὁ λάγνος. ἢ δὲ μεταφορὰ ἀπὸ τῶν ἀλφηστῶν οὕτω λεγομένων ἰχθύων, ὅτι ἕπονται κατ᾽ οὐρὰν. ἡ γυνὴ καταπύγωνος. καὶ αἱ ἄλλαι πλώσεις εὐρύωται. καὶ τὸ θηλυκὸν εὕρηται καταπύγων. καὶ ἡ πρᾶξις καταπυγοσύνη, τουτέστιν, ἡ μαλακία. καὶ καταπυγος, ὁ κίναιδος. Σ. ἄλλως. καταπύγος, καταπυγής, καὶ καταπύγων, ὁ κίναιδος, ὁ μαλακός, ὁ ἀσελγής, ὁ εἰς ἀνοσίας συνουσίας καταφερής, διὰ τούτου τοῦ ἐπιφωνήματος ἡ Λυσιστράτη τῶν γυναικῶν πικρῶς καθάπτεται, καὶ αὐτῶν τὴν λίαν ἀσέλγειαν, καὶ ἀκολασίαν ὀνειδίζει. οὐκ εἰκὸς δὲ, ἀντὶ τοῦ ἀδίκως λοιπὸν οἱ ποιηταὶ ἡμᾶς διὰ ταύτας τὰς κακίας τραγῳδοῦσι, καὶ κωμῳδοῦσι.

CHR. Ἀλλ᾽ ὁ πόλεμος ἑρπέτω] Augustus Cęsar in illo Fescēninæ licētiæ epigrammate & Romanæ simplicitatis vt ait Martialis, in hanc sentētiam dixit, Quid quod mihi vita Charior est ipsa mentula? Signa canant. Mauult enim Marte decertare quàm Fuluiæ libidini obtemperare. Hic Myrrina contra bellum mauult quàm Venerem quietam. Οὐκ ἐτὸς ἀφ᾽ ἡμῶν] Muta accentum & lege ἐτός quod est pro ἐτώσιον, vt dicat, Non frustra contrà nos loquuntur Tragici, innuens Euripidem μισογύναικα, Legendum autem paulò antè τί δαί non τί δέ. vt metro consulas.